**1** Παῦλος δοῦλος ⸂Χριστοῦ Ἰησοῦ⸃, κλητὸς[a] ἀπόστολος, ἀφωρισμένος[b] εἰς
εὐαγγέλιον θεοῦ 2 ὃ προεπηγγείλατο[a] διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς
ἁγίαις 3 περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου[a] ἐκ σπέρματος Δαυὶδ κατὰ
σάρκα, 4 τοῦ ὁρισθέντος[a] υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης[b] ἐξ
ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, 5 δι᾽ οὗ ἐλάβομεν[a]
χάριν καὶ ἀποστολὴν[b] εἰς ὑπακοὴν[c] πίστεως ἐν πᾶσιν τοῖς ἔθνεσιν ὑπὲρ τοῦ
ὀνόματος αὐτοῦ, 6 ἐν οἷς ἐστε[a] καὶ ὑμεῖς κλητοὶ[b] Ἰησοῦ Χριστοῦ, 7 πᾶσιν τοῖς
οὖσιν[a] ἐν Ῥώμῃ[b] ἀγαπητοῖς θεοῦ, κλητοῖς[c] ἁγίοις· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ
θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ. 8 Πρῶτον μὲν εὐχαριστῶ[a] τῷ
θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ⸀περὶ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν
καταγγέλλεται[b] ἐν ὅλῳ τῷ κόσμῳ. 9 μάρτυς γάρ μού ἐστιν[a] ὁ θεός, ᾧ
λατρεύω[b] ἐν τῷ πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς
ἀδιαλείπτως[c] μνείαν[d] ὑμῶν ποιοῦμαι[e] 10 πάντοτε ἐπὶ τῶν προσευχῶν μου,
δεόμενος[a] εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι[b] ἐν τῷ θελήματι τοῦ θεοῦ ἐλθεῖν[c]
πρὸς ὑμᾶς. 11 ἐπιποθῶ[a] γὰρ ἰδεῖν[b] ὑμᾶς, ἵνα τι μεταδῶ[c] χάρισμα[d] ὑμῖν
πνευματικὸν[e] εἰς τὸ στηριχθῆναι[f] ὑμᾶς, 12 τοῦτο δέ ἐστιν[a] συμπαρακληθῆναι[b]
ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ. 13 οὐ θέλω[a] δὲ ὑμᾶς
ἀγνοεῖν,[b] ἀδελφοί, ὅτι πολλάκις[c] προεθέμην[d] ἐλθεῖν[e] πρὸς ὑμᾶς, καὶ

---

**Chapter 1**
1 a NNMS *κλητός called*
b VPRPNMS ἀφορίζω *to separate*
2 a V3SAMI προεπαγγέλλομαι *to promise beforehand*
3 a VPAMGMS
4 a VPAPGMS ὁρίζω *to determine*
b NGFS ἁγιωσύνη *holiness*
5 a V1PAAI
b NAFS ἀποστολή *apostleship*
c NAFS ὑπακοή *obedience*
6 a V2PPAI
b NNMP *κλητός called*
7 a VPPADMP
b NDFS Ῥώμη *Rome*
c NDMP *κλητός called*
8 a V1SPAI
b V3SPPI καταγγέλλω *to preach*
9 a V3SPAI
b V1SPAI λατρεύω *to serve*
c *ἀδιαλείπτως unceasingly*
d NAFS μνεία *remembrance*
e V1SPMI
10 a VPPMNMS
b V1SFPI εὐοδόομαι *to get along with*
c VNAA
11 a V1SPAI ἐπιποθέω *to long for*
b VNAA
c V1SAAS μεταδίδωμι *to impart*
d NANS χάρισμα *gracious gift*
e NANS πνευματικός *spiritual*
f VNAP στηρίζω *to strengthen*
12 a V3SPAI
b VNAP συμπαρακαλέομαι *to be mutually encouraged*
13 a V1SPAI
b VNPA ἀγνοέω *to be ignorant*
c πολλάκις *many times*
d V1SAMI προτίθεμαι *to plan*
e VNAA

ἐκωλύθην[f] ἄχρι τοῦ δεῦρο,[g] ἵνα τινὰ καρπὸν σχῶ[h] καὶ ἐν ὑμῖν καθὼς καὶ ἐν
τοῖς λοιποῖς ἔθνεσιν. 14 Ἕλλησίν[a] τε καὶ βαρβάροις,[b] σοφοῖς[c] τε καὶ ἀνοήτοις[d]
ὀφειλέτης[e] εἰμί·[f] 15 οὕτως τὸ κατʼ ἐμὲ πρόθυμον[a] καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ[b]
εὐαγγελίσασθαι.[c] 16 Οὐ γὰρ ἐπαισχύνομαι[a] τὸ ⸀εὐαγγέλιον, δύναμις γὰρ θεοῦ
ἐστιν[b] εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι,[c] Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι·[d]
17 δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται[a] ἐκ πίστεως εἰς πίστιν, καθὼς
γέγραπται·[b] Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.[c] 18 Ἀποκαλύπτεται[a] γὰρ ὀργὴ
θεοῦ ἀπʼ οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν[b] καὶ ἀδικίαν[c] ἀνθρώπων τῶν τὴν
ἀλήθειαν ἐν ἀδικίᾳ[d] κατεχόντων,[e] 19 διότι[a] τὸ γνωστὸν[b] τοῦ θεοῦ φανερόν[c]
ἐστιν[d] ἐν αὐτοῖς, ὁ ⸂θεὸς γὰρ⸃ αὐτοῖς ἐφανέρωσεν.[e] 20 τὰ γὰρ ἀόρατα[a] αὐτοῦ
ἀπὸ κτίσεως[b] κόσμου τοῖς ποιήμασιν[c] νοούμενα[d] καθορᾶται,[e] ἥ τε ἀΐδιος[f]
αὐτοῦ δύναμις καὶ θειότης,[g] εἰς τὸ εἶναι[h] αὐτοὺς ἀναπολογήτους,[i] 21 διότι[a]
γνόντες[b] τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν[c] ἢ ηὐχαρίστησαν,[d] ἀλλὰ
ἐματαιώθησαν[e] ἐν τοῖς διαλογισμοῖς[f] αὐτῶν καὶ ἐσκοτίσθη[g] ἡ ἀσύνετος[h] αὐτῶν
καρδία· 22 φάσκοντες[a] εἶναι[b] σοφοὶ[c] ἐμωράνθησαν,[d] 23 καὶ ἤλλαξαν[a] τὴν

---

f V1SAPI κωλύω *to hinder*
g δεῦρο *come*
h V1SAAS
14 a NDMP Ἕλλην *Greek*
b NDMP βάρβαρος *non-Greek*
c NDMP σοφός *wise*
d NDMP ἀνόητος *foolish*
e NNMS ὀφειλέτης *debtor*
f V1SPAI
15 a NNNS πρόθυμος *willing*
b NDFS Ῥώμη *Rome*
c VNAM
16 a V1SPMI ἐπαισχύνομαι *to be ashamed of*
b V3SPAI
c VPPADMS
d NDMS Ἕλλην *Greek*
17 a V3SPPI ἀποκαλύπτω *to reveal*
b V3SRPI
c V3SFMI
18 a V3SPPI ἀποκαλύπτω *to reveal*
b NAFS ἀσέβεια *ungodliness*
c NAFS ἀδικία *wickedness*
d NDFS ἀδικία *wickedness*
e VPPAGMP κατέχω *to hold back*
19 a διότι *therefore*
b NNNS γνωστός *known*
c NNNS φανερός *visible*
d V3SPAI
e V3SAAI
20 a NNNP ἀόρατος *invisible*
b NGFS κτίσις *creation*
c NDNP ποίημα *what is made*
d VPPPNNP νοέω *to understand*
e V3SPPI καθοράω *to be clearly seen*
f NNFS ἀΐδιος *eternal*
g NNFS θειότης *divine nature*
h VNPA
i NAMP ἀναπολόγητος *without excuse*
21 a διότι *therefore*
b VPAANMP
c V3PAAI
d V3PAAI
e V3PAPI ματαιόομαι *to become futile*
f NDMP διαλογισμός *thought*
g V3SAPI σκοτίζομαι *to be dark*
h NNFS ἀσύνετος *senseless*
22 a VPPANMP φάσκω *to claim*
b VNPA
c NNMP σοφός *wise*
d V3PAPI μωραίνω *to make foolish*
23 a V3PAAI ἀλλάσσω *to change*

δόξαν τοῦ ἀφθάρτου[b] θεοῦ ἐν ὁμοιώματι[c] εἰκόνος[d] φθαρτοῦ[e] ἀνθρώπου καὶ
πετεινῶν[f] καὶ τετραπόδων[g] καὶ ἑρπετῶν.[h] 24 ⸀Διὸ παρέδωκεν[a] αὐτοὺς ὁ θεὸς
ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν[b] τοῦ ἀτιμάζεσθαι[c] τὰ
σώματα αὐτῶν ἐν ⸀αὐτοῖς, 25 οἵτινες μετήλλαξαν[a] τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν
τῷ ψεύδει,[b] καὶ ἐσεβάσθησαν[c] καὶ ἐλάτρευσαν[d] τῇ κτίσει[e] παρὰ τὸν
κτίσαντα,[f] ὅς ἐστιν[g] εὐλογητὸς[h] εἰς τοὺς αἰῶνας· ἀμήν. 26 Διὰ τοῦτο
παρέδωκεν[a] αὐτοὺς ὁ θεὸς εἰς πάθη[b] ἀτιμίας·[c] αἵ τε γὰρ θήλειαι[d] αὐτῶν
μετήλλαξαν[e] τὴν φυσικὴν[f] χρῆσιν[g] εἰς τὴν παρὰ φύσιν,[h] 27 ὁμοίως τε καὶ οἱ
ἄρσενες[a] ἀφέντες[b] τὴν φυσικὴν[c] χρῆσιν[d] τῆς θηλείας[e] ἐξεκαύθησαν[f] ἐν τῇ
ὀρέξει[g] αὐτῶν εἰς ἀλλήλους, ἄρσενες[h] ἐν ἄρσεσιν[i] τὴν ἀσχημοσύνην[j]
κατεργαζόμενοι[k] καὶ τὴν ἀντιμισθίαν[l] ἣν ἔδει[m] τῆς πλάνης[n] αὐτῶν ἐν ⸀ἑαυτοῖς
ἀπολαμβάνοντες.[o] 28 Καὶ καθὼς οὐκ ἐδοκίμασαν[a] τὸν θεὸν ἔχειν[b] ἐν
ἐπιγνώσει,[c] παρέδωκεν[d] αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον[e] νοῦν,[f] ποιεῖν[g] τὰ μὴ
καθήκοντα,[h] 29 πεπληρωμένους[a] πάσῃ ⸀ἀδικίᾳ[b] πονηρίᾳ[c] πλεονεξίᾳ[d] κακίᾳ,[e]

---

b NGMS ἄφθαρτος *imperishable*
c NDNS ὁμοίωμα *likeness*
d NGFS εἰκών *image*
e NGMS φθαρτός *perishable*
f NGNP πετεινόν *bird*
g NGNP τετράπους *four-footed*
h NGNP ἑρπετόν *reptile*
24 a V3SAAI
b NAFS ἀκαθαρσία *impurity*
c VNPM ἀτιμάζω *to dishonor*
25 a V3PAAI μεταλλάσσω *to exchange*
b NDNS ψεῦδος *lie*
c V3PAPI σεβάζομαι *to worship*
d V3PAAI λατρεύω *to serve*
e NDFS κτίσις *creation*
f VPAAAMS κτίζω *to create*
g V3SPAI
h NNMS εὐλογητός *worthy of being praised*
26 a V3SAAI
b NANP πάθος *lust*
c NGFS ἀτιμία *dishonor*
d NNFP θῆλυς *female*
e V3PAAI μεταλλάσσω *to exchange*
f NAFS φυσικός *natural*
g NAFS χρῆσις *relations*
h NAFS φύσις *nature*
27 a NNMP ἄρσην *male*
b VPAANMP
c NAFS φυσικός *natural*
d NAFS χρῆσις *relations*
e NGFS θῆλυς *female*
f V3PAPI ἐκκαίομαι *to be inflamed*
g NDFS ὄρεξις *lust*
h NNMP ἄρσην *male*
i NDMP ἄρσην *male*
j NAFS ἀσχημοσύνη *indecent act*
k VPPMNMP κατεργάζομαι *to produce*
l NAFS ἀντιμισθία *an exchange*
m V3SIAI
n NGFS πλάνη *error*
o VPPANMP ἀπολαμβάνω *to receive*
28 a V3PAAI δοκιμάζω *to test*
b VNPA
c NDFS ἐπίγνωσις *knowledge*
d V3SAAI
e NAMS ἀδόκιμος *failing the test*
f NAMS νοῦς *mind*
g VNPA
h VPPAANP καθήκω *to be fitting*
29 a VPRPAMP
b NDFS ἀδικία *wickedness*
c NDFS πονηρία *evil*
d NDFS πλεονεξία *greediness*
e NDFS κακία *evil*

μεστοὺς[f] φθόνου[g] φόνου[h] ἔριδος[i] δόλου[j] κακοηθείας,[k] ψιθυριστάς,[l]
30 καταλάλους,[a] θεοστυγεῖς,[b] ὑβριστάς,[c] ὑπερηφάνους,[d] ἀλαζόνας,[e]
ἐφευρετὰς[f] κακῶν, γονεῦσιν[g] ἀπειθεῖς,[h] 31 ἀσυνέτους,[a] ἀσυνθέτους,[b]
⸀ἀστόργους,[c] ἀνελεήμονας·[d] 32 οἵτινες τὸ δικαίωμα[a] τοῦ θεοῦ ἐπιγνόντες,[b] ὅτι
οἱ τὰ τοιαῦτα πράσσοντες[c] ἄξιοι θανάτου εἰσίν,[d] οὐ μόνον αὐτὰ ποιοῦσιν[e] ἀλλὰ
καὶ συνευδοκοῦσιν[f] τοῖς πράσσουσιν.[g]

**2** Διὸ ἀναπολόγητος[a] εἶ,[b] ὦ[c] ἄνθρωπε πᾶς ὁ κρίνων·[d] ἐν ᾧ γὰρ κρίνεις[e] τὸν
ἕτερον, σεαυτὸν κατακρίνεις,[f] τὰ γὰρ αὐτὰ πράσσεις[g] ὁ κρίνων·[h] 2 οἴδαμεν[a] δὲ
ὅτι τὸ κρίμα[b] τοῦ θεοῦ ἐστιν[c] κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα
πράσσοντας.[d] 3 λογίζῃ[a] δὲ τοῦτο, ὦ[b] ἄνθρωπε ὁ κρίνων[c] τοὺς τὰ τοιαῦτα
πράσσοντας[d] καὶ ποιῶν[e] αὐτά, ὅτι σὺ ἐκφεύξῃ[f] τὸ κρίμα[g] τοῦ θεοῦ; 4 ἢ τοῦ
πλούτου[a] τῆς χρηστότητος[b] αὐτοῦ καὶ τῆς ἀνοχῆς[c] καὶ τῆς μακροθυμίας[d]
καταφρονεῖς,[e] ἀγνοῶν[f] ὅτι τὸ χρηστὸν[g] τοῦ θεοῦ εἰς μετάνοιάν[h] σε ἄγει;[i]
5 κατὰ δὲ τὴν σκληρότητά[a] σου καὶ ἀμετανόητον[b] καρδίαν θησαυρίζεις[c]

---

f NAMP μεστός *full*
g NGMS φθόνος *envy*
h NGMS φόνος *murder*
i NGFS ἔρις *quarrel*
j NGMS δόλος *deceit*
k NGFS κακοήθεια *malice*
l NAMP ψιθυριστής *gossip*
30 a NAMP κατάλαλος *slanderous*
b NAMP θεοστυγής *God-hating*
c NAMP ὑβριστής *insolent man*
d NAMP ὑπερήφανος *proud*
e NAMP ἀλαζών *boaster*
f NAMP ἐφευρετής *inventor*
g NDMP γονεύς *parents*
h NAMP ἀπειθής *disobedient*
31 a NAMP ἀσύνετος *senseless*
b NAMP ἀσύνθετος *faithless*
c NAMP ἄστοργος *without love*
d NAMP ἀνελεήμων *ruthless*
32 a NANS δικαίωμα *regulation*
b VPAANMP
c VPPANMP
d V3PPAI
e V3PPAI
f V3PPAI συνευδοκέω *to approve of*
g VPPADMP

**Chapter 2**

1 a NNMS ἀναπολόγητος *without excuse*
b V2SPAI
c ὦ *O!*
d VPPANMS
e V2SPAI
f V2SPAI κατακρίνω *to condemn*
g V2SPAI
h VPPANMS
2 a V1PRAI
b NNNS κρίμα *judgment*
c V3SPAI
d VPPAAMP
3 a V2SPMI
b ὦ *O!*
c VPPANMS
d VPPAAMP
e VPPANMS
f V2SFMI ἐκφεύγω *to escape*
g NANS κρίμα *judgment*
4 a NGMS πλοῦτος *riches*
b NGFS χρηστότης *kindness*
c NGFS ἀνοχή *tolerance*
d NGFS μακροθυμία *patience*
e V2SPAI καταφρονέω *to despise*
f VPPANMS ἀγνοέω *to be ignorant*
g NNNS χρηστός *easy*
h NAFS μετάνοια *change of mind*
i V3SPAI
5 a NAFS σκληρότης *hardness*
b NAFS ἀμετανόητος *unrepentant*
c V2SPAI θησαυρίζω *to store up*

σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ⸀ἀποκαλύψεως[d] δικαιοκρισίας[e] τοῦ θεοῦ,
6 ὃς ἀποδώσει[a] ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· 7 τοῖς μὲν καθ’ ὑπομονὴν ἔργου
ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν[a] ζητοῦσιν[b] ζωὴν αἰώνιον· 8 τοῖς δὲ ἐξ
ἐριθείας[a] καὶ ⸀ἀπειθοῦσι[b] τῇ ἀληθείᾳ πειθομένοις[c] δὲ τῇ ἀδικίᾳ[d] ⸂ὀργὴ καὶ
θυμός⸃,[e] 9 θλῖψις καὶ στενοχωρία,[a] ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ
κατεργαζομένου[b] τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος·[c] 10 δόξα δὲ καὶ
τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ[a] τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ
Ἕλληνι·[b] 11 οὐ γάρ ἐστιν[a] προσωπολημψία[b] παρὰ τῷ θεῷ. 12 Ὅσοι γὰρ
ἀνόμως[a] ἥμαρτον,[b] ἀνόμως[c] καὶ ἀπολοῦνται·[d] καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον,[e] διὰ
νόμου κριθήσονται·[f] 13 οὐ γὰρ οἱ ἀκροαταὶ[a] ⸀νόμου δίκαιοι παρὰ ⸀τῷ θεῷ, ἀλλ’
οἱ ποιηταὶ[b] ⸁νόμου δικαιωθήσονται.[c] 14 ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα[a]
φύσει[b] τὰ τοῦ νόμου ⸀ποιῶσιν,[c] οὗτοι νόμον μὴ ἔχοντες[d] ἑαυτοῖς εἰσιν[e] νόμος·
15 οἵτινες ἐνδείκνυνται[a] τὸ ἔργον τοῦ νόμου γραπτὸν[b] ἐν ταῖς καρδίαις αὐτῶν,
συμμαρτυρούσης[c] αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ[d] ἀλλήλων τῶν
λογισμῶν[e] κατηγορούντων[f] ἢ καὶ ἀπολογουμένων,[g] 16 ἐν ⸂ἡμέρᾳ ὅτε⸃ ⸀κρίνει[a]
ὁ θεὸς τὰ κρυπτὰ[b] τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ ⸂Χριστοῦ
Ἰησοῦ⸃. 17 ⸂Εἰ δὲ⸃ σὺ Ἰουδαῖος ἐπονομάζῃ[a] καὶ ἐπαναπαύῃ[b] ⸀νόμῳ καὶ
καυχᾶσαι[c] ἐν θεῷ 18 καὶ γινώσκεις[a] τὸ θέλημα καὶ δοκιμάζεις[b] τὰ

---

d NGFS ἀποκάλυψις *revelation*
e NGFS δικαιοκρισία *righteous judgment*
6 a V3SFAI
7 a NAFS ἀφθαρσία *imperishableness*
b VPPADMP
8 a NGFS ἐριθεία *selfish ambition*
b VPPADMP ἀπειθέω *to disobey*
c VPPPDMP
d NDFS ἀδικία *wickedness*
e NNMS θυμός *wrath*
9 a NNFS στενοχωρία *distress*
b VPPMGMS κατεργάζομαι *to produce*
c NGMS Ἕλλην *Greek*
10 a VPPMDMS
b NDMS Ἕλλην *Greek*
11 a V3SPAI
b NNFS προσωπολημψία *favoritism*
12 a ἀνόμως *without law*
b V3PAAI
c ἀνόμως *without law*
d V3PFMI
e V3PAAI
f V3PFPI
13 a NNMP ἀκροατής *hearer*
b NNMP ποιητής *doer*
c V3PFPI
14 a VPPANNP
b NDFS φύσις *nature*
c V3PPAS
d VPPANMP
e V3PPAI
15 a V3PPMI ἐνδείκνυμι *to show*
b NANS γραπτός *written*
c VPPAGFS συμμαρτυρέω *to testify with*
d μεταξύ *between*
e NGMP λογισμός *thought*
f VPPAGMP κατηγορέω *to accuse*
g VPPMGMP ἀπολογέομαι *to defend oneself*
16 a V3SPAI
b NANP κρυπτός *hidden*
17 a V2SPMI ἐπονομάζομαι *to be called*
b V2SPMI ἐπαναπαύομαι *to rest on*
c V2SPMI
18 a V2SPAI
b V2SPAI δοκιμάζω *to test*

διαφέροντα[c] κατηχούμενος[d] ἐκ τοῦ νόμου, 19 πέποιθάς[a] τε σεαυτὸν ὁδηγὸν[b]
εἶναι[c] τυφλῶν, φῶς τῶν ἐν σκότει, 20 παιδευτὴν[a] ἀφρόνων,[b] διδάσκαλον
νηπίων,[c] ἔχοντα[d] τὴν μόρφωσιν[e] τῆς γνώσεως[f] καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ—
21 ὁ οὖν διδάσκων[a] ἕτερον σεαυτὸν οὐ διδάσκεις;[b] ὁ κηρύσσων[c] μὴ κλέπτειν[d]
κλέπτεις;[e] 22 ὁ λέγων[a] μὴ μοιχεύειν[b] μοιχεύεις;[c] ὁ βδελυσσόμενος[d] τὰ
εἴδωλα[e] ἱεροσυλεῖς;[f] 23 ὃς ἐν νόμῳ καυχᾶσαι,[a] διὰ τῆς παραβάσεως[b] τοῦ
νόμου τὸν θεὸν ἀτιμάζεις;[c] 24 τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι’ ὑμᾶς βλασφημεῖται[a]
ἐν τοῖς ἔθνεσιν, καθὼς γέγραπται.[b] 25 Περιτομὴ μὲν γὰρ ὠφελεῖ[a] ἐὰν νόμον
πράσσῃς·[b] ἐὰν δὲ παραβάτης[c] νόμου ᾖς,[d] ἡ περιτομή σου ἀκροβυστία[e]
γέγονεν.[f] 26 ἐὰν οὖν ἡ ἀκροβυστία[a] τὰ δικαιώματα[b] τοῦ νόμου φυλάσσῃ,[c]
⸀οὐχ ἡ ἀκροβυστία[d] αὐτοῦ εἰς περιτομὴν λογισθήσεται;[e] 27 καὶ κρινεῖ[a] ἡ ἐκ
φύσεως[b] ἀκροβυστία[c] τὸν νόμον τελοῦσα[d] σὲ τὸν διὰ γράμματος[e] καὶ
περιτομῆς παραβάτην[f] νόμου. 28 οὐ γὰρ ὁ ἐν τῷ φανερῷ[a] Ἰουδαῖός ἐστιν,[b]
οὐδὲ ἡ ἐν τῷ φανερῷ[c] ἐν σαρκὶ περιτομή· 29 ἀλλ’ ὁ ἐν τῷ κρυπτῷ[a] Ἰουδαῖος,
καὶ περιτομὴ καρδίας ἐν πνεύματι οὐ γράμματι,[b] οὗ ὁ ἔπαινος[c] οὐκ ἐξ
ἀνθρώπων ἀλλ’ ἐκ τοῦ θεοῦ.

---

c VPPAANP διαφέρω *to carry*
d VPPPNMS κατηχέω *to instruct*
19 a V2SRAI
b NAMS ὁδηγός *guide*
c VNPA
20 a NAMS παιδευτής *instructor*
b NGMP ἄφρων *foolish*
c NGMP νήπιος *child*
d VPPAAMS
e NAFS μόρφωσις *embodiment*
f NGFS γνῶσις *knowledge*
21 a VPPANMS
b V2SPAI
c VPPANMS
d VNPA κλέπτω *steal*
e V2SPAI κλέπτω *steal*
22 a VPPANMS
b VNPA μοιχεύω *to commit adultery*
c V2SPAI μοιχεύω *to commit adultery*
d VPPMNMS βδελύσσομαι *to abhor*
e NANP εἴδωλον *idol*
f V2SPAI ἱεροσυλέω *to rob temples*
23 a V2SPMI
b NGFS παράβασις *transgression*
c V2SPAI ἀτιμάζω *to dishonor*
24 a V3SPPI
b V3SRPI
25 a V3SPAI ὠφελέω *to be of good use*
b V2SPAS
c NNMS παραβάτης *lawbreaker*
d V2SPAS
e NNFS ἀκροβυστία *uncircumcision*
f V3SRAI
26 a NNFS ἀκροβυστία *uncircumcision*
b NANP δικαίωμα *regulation*
c V3SPAS
d NNFS ἀκροβυστία *uncircumcision*
e V3SFPI
27 a V3SFAI
b NGFS φύσις *nature*
c NNFS ἀκροβυστία *uncircumcision*
d VPPANFS τελέω *to finish*
e NGNS γράμμα *letter*
f NAMS παραβάτης *lawbreaker*
28 a NDNS φανερός *visible*
b V3SPAI
c NDNS φανερός *visible*
29 a NDNS κρυπτός *hidden*
b NDNS γράμμα *letter*
c NNMS ἔπαινος *praise*

**Chapter 3**

**3** Τί οὖν τὸ περισσὸν[a] τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια[b] τῆς περιτομῆς; 2 πολὺ
κατὰ πάντα τρόπον.[a] πρῶτον μὲν ⸀γὰρ ὅτι ἐπιστεύθησαν[b] τὰ λόγια[c] τοῦ θεοῦ.
3 τί γάρ; εἰ ἠπίστησάν[a] τινες, μὴ ἡ ἀπιστία[b] αὐτῶν τὴν πίστιν τοῦ θεοῦ
καταργήσει;[c] 4 μὴ γένοιτο·[a] γινέσθω[b] δὲ ὁ θεὸς ἀληθής,[c] πᾶς δὲ ἄνθρωπος
ψεύστης,[d] ⸀καθὼς γέγραπται·[e] Ὅπως ἂν δικαιωθῇς[f] ἐν τοῖς λόγοις σου καὶ
⸀νικήσεις[g] ἐν τῷ κρίνεσθαί[h] σε. 5 εἰ δὲ ἡ ἀδικία[a] ἡμῶν θεοῦ δικαιοσύνην
συνίστησιν,[b] τί ἐροῦμεν;[c] μὴ ἄδικος[d] ὁ θεὸς ὁ ἐπιφέρων[e] τὴν ὀργήν; κατὰ
ἄνθρωπον λέγω.[f] 6 μὴ γένοιτο·[a] ἐπεὶ[b] πῶς κρινεῖ[c] ὁ θεὸς τὸν κόσμον; 7 εἰ ⸀δὲ
ἡ ἀλήθεια τοῦ θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι[a] ἐπερίσσευσεν[b] εἰς τὴν δόξαν αὐτοῦ,
τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι,[c] 8 καὶ μὴ καθὼς βλασφημούμεθα[a] καὶ
καθώς φασίν[b] τινες ἡμᾶς λέγειν[c] ὅτι Ποιήσωμεν[d] τὰ κακὰ ἵνα ἔλθῃ[e] τὰ
ἀγαθά; ὧν τὸ κρίμα[f] ἔνδικόν[g] ἐστιν.[h] 9 Τί οὖν; προεχόμεθα;[a] οὐ πάντως,[b]
προῃτιασάμεθα[c] γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας[d] πάντας ὑφ’ ἁμαρτίαν εἶναι,[e]
10 καθὼς γέγραπται[a] ὅτι Οὐκ ἔστιν[b] δίκαιος οὐδὲ εἷς, 11 οὐκ ἔστιν[a] ⸀ὁ
συνίων,[b] οὐκ ἔστιν[c] ⸀ὁ ἐκζητῶν[d] τὸν θεόν· 12 πάντες ἐξέκλιναν,[a] ἅμα[b]
ἠχρεώθησαν·[c] οὐκ ⸀ἔστιν[d] ποιῶν[e] χρηστότητα,[f] οὐκ ἔστιν[g] ἕως ἑνός.

---

1 a NNNS περισσός *exceeding*
b NNFS ὠφέλεια *value*
2 a NAMS τρόπος *manner*
b V3PAPI
c NANP λόγιον *words*
3 a V3PAAI ἀπιστέω *to disbelieve*
b NNFS ἀπιστία *unbelief*
c V3SFAI καταργέω *to nullify*
4 a V3SAMO
b V3SPMM
c NNMS ἀληθής *true*
d NNMS ψεύστης *liar*
e V3SRPI
f V2SAPS
g V2SFAI νικάω *to overcome*
h VNPP
5 a NNFS ἀδικία *wickedness*
b V3SPAI συνίστημι *to commend*
c V1PFAI
d NNMS ἄδικος *unjust*
e VPPANMS ἐπιφέρω *to bring upon*
f V1SPAI
6 a V3SAMO
b ἐπεί *since*
c V3SFAI
7 a NDNS ψεῦσμα *falsehood*
b V3SAAI
c V1SPPI
8 a V1PPPI
b V3PPAI
c VNPA
d V1PAAS
e V3SAAS
f NNNS κρίμα *judgment*
g NNNS ἔνδικος *just*
h V3SPAI
9 a V1PPMI προέχομαι *to be better off*
b πάντως *surely*
c V1PAMI προαιτιάομαι *to make a charge beforehand*
d NAMP Ἕλλην *Greek*
e VNPA
10 a V3SRPI
b V3SPAI
11 a V3SPAI
b VPPANMS συνίημι *to understand*
c V3SPAI
d VPPANMS ἐκζητέω *to seek out*
12 a V3PAAI ἐκκλίνω *to turn away*
b ἅμα *together*
c V3PAPI ἀχρειόομαι *to become worthless*
d V3SPAI
e VPPANMS
f NAFS χρηστότης *kindness*
g V3SPAI

13 τάφος[a] ἀνεῳγμένος[b] ὁ λάρυγξ[c] αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν,[d]
ἰὸς[e] ἀσπίδων[f] ὑπὸ τὰ χείλη[g] αὐτῶν, 14 ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας[a] γέμει·[b]
15 ὀξεῖς[a] οἱ πόδες αὐτῶν ἐκχέαι[b] αἷμα, 16 σύντριμμα[a] καὶ ταλαιπωρία[b] ἐν
ταῖς ὁδοῖς αὐτῶν, 17 καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν.[a] 18 οὐκ ἔστιν[a] φόβος θεοῦ
ἀπέναντι[b] τῶν ὀφθαλμῶν αὐτῶν. 19 Οἴδαμεν[a] δὲ ὅτι ὅσα ὁ νόμος λέγει[b] τοῖς
ἐν τῷ νόμῳ λαλεῖ,[c] ἵνα πᾶν στόμα φραγῇ[d] καὶ ὑπόδικος[e] γένηται[f] πᾶς ὁ
κόσμος τῷ θεῷ· 20 διότι[a] ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται[b] πᾶσα σὰρξ
ἐνώπιον αὐτοῦ, διὰ γὰρ νόμου ἐπίγνωσις[c] ἁμαρτίας. 21 Νυνὶ[a] δὲ χωρὶς νόμου
δικαιοσύνη θεοῦ πεφανέρωται,[b] μαρτυρουμένη[c] ὑπὸ τοῦ νόμου καὶ τῶν
προφητῶν, 22 δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, εἰς ⸀πάντας
τοὺς πιστεύοντας,[a] οὐ γάρ ἐστιν[b] διαστολή.[c] 23 πάντες γὰρ ἥμαρτον[a] καὶ
ὑστεροῦνται[b] τῆς δόξης τοῦ θεοῦ, 24 δικαιούμενοι[a] δωρεὰν[b] τῇ αὐτοῦ χάριτι
διὰ τῆς ἀπολυτρώσεως[c] τῆς ἐν Χριστῷ Ἰησοῦ· 25 ὃν προέθετο[a] ὁ θεὸς
ἱλαστήριον[b] ⸀διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι εἰς ἔνδειξιν[c] τῆς δικαιοσύνης
αὐτοῦ διὰ τὴν πάρεσιν[d] τῶν προγεγονότων[e] ἁμαρτημάτων[f] 26 ἐν τῇ ἀνοχῇ[a]
τοῦ θεοῦ, πρὸς ⸀τὴν ἔνδειξιν[b] τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ, εἰς τὸ
εἶναι[c] αὐτὸν δίκαιον καὶ δικαιοῦντα[d] τὸν ἐκ πίστεως Ἰησοῦ. 27 Ποῦ οὖν ἡ
καύχησις;[a] ἐξεκλείσθη.[b] διὰ ποίου νόμου; τῶν ἔργων; οὐχί, ἀλλὰ διὰ νόμου

---

13 a NNMS τάφος *tomb*
b VPRPNMS
c NNMS λάρυγξ *throat*
d V3PIAI δολιόω *to practice deceit*
e NNMS ἰός *poison*
f NGFP ἀσπίς *viper*
g NANP χεῖλος *lip*
14 a NGFS πικρία *bitterness*
b V3SPAI γέμω *to be full*
15 a NNMP ὀξύς *sharp*
b VNAA ἐκχέω *to pour out*
16 a NNNS σύντριμμα *ruin*
b NNFS ταλαιπωρία *misery*
17 a V3PAAI
18 a V3SPAI
b ἀπέναντι *opposite*
19 a V1PRAI
b V3SPAI
c V3SPAI
d V3SAPS φράσσω *to shut*
e NNMS ὑπόδικος *accountable*
f V3SAMS
20 a διότι *therefore*
b V3SFPI
c NNFS ἐπίγνωσις *knowledge*
21 a νυνί *now*
b V3SRPI
c VPPPNFS
22 a VPPAAMP
b V3SPAI
c NNFS διαστολή *difference*
23 a V3PAAI
b V3PPPI ὑστερέω *to lack*
24 a VPPPNMP
b δωρεάν *freely*
c NGFS ἀπολύτρωσις *redemption*
25 a V3SAMI προτίθεμαι *to plan*
b NANS ἱλαστήριον *atoning sacrifice*
c NAFS ἔνδειξις *demonstration*
d NAFS πάρεσις *leaving unpunished*
e VPRAGNP προγίνομαι *to commit beforehand*
f NGNP ἁμάρτημα *sin*
26 a NDFS ἀνοχή *tolerance*
b NAFS ἔνδειξις *demonstration*
c VNPA
d VPPAAMS
27 a NNFS καύχησις *boasting*
b V3SAPI ἐκκλείω *to alienate*

πίστεως. 28 λογιζόμεθα[a] ⸀γὰρ ⸂δικαιοῦσθαι[b] πίστει⸃ ἄνθρωπον χωρὶς ἔργων
νόμου. 29 ἢ Ἰουδαίων ὁ θεὸς μόνον; ⸀οὐχὶ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν, 30 ⸀εἴπερ[a]
εἷς ὁ θεός, ὃς δικαιώσει[b] περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν[c] διὰ τῆς
πίστεως. 31 νόμον οὖν καταργοῦμεν[a] διὰ τῆς πίστεως; μὴ γένοιτο,[b] ἀλλὰ
νόμον ⸀ἱστάνομεν.[c]

**4** Τί οὖν ἐροῦμεν[a] ⸀εὑρηκέναι[b] Ἀβραὰμ τὸν ⸀προπάτορα[c] ⸀ἡμῶν κατὰ
σάρκα; 2 εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη,[a] ἔχει[b] καύχημα·[c] ἀλλ’ οὐ ⸀πρὸς
θεόν, 3 τί γὰρ ἡ γραφὴ λέγει;[a] Ἐπίστευσεν[b] δὲ Ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη[c]
αὐτῷ εἰς δικαιοσύνην. 4 τῷ δὲ ἐργαζομένῳ[a] ὁ μισθὸς[b] οὐ λογίζεται[c] κατὰ
χάριν ἀλλὰ κατὰ ὀφείλημα·[d] 5 τῷ δὲ μὴ ἐργαζομένῳ,[a] πιστεύοντι[b] δὲ ἐπὶ τὸν
δικαιοῦντα[c] τὸν ἀσεβῆ,[d] λογίζεται[e] ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην,
6 καθάπερ[a] καὶ Δαυὶδ λέγει[b] τὸν μακαρισμὸν[c] τοῦ ἀνθρώπου ᾧ ὁ θεὸς
λογίζεται[d] δικαιοσύνην χωρὶς ἔργων· 7 Μακάριοι ὧν ἀφέθησαν[a] αἱ ἀνομίαι[b]
καὶ ὧν ἐπεκαλύφθησαν[c] αἱ ἁμαρτίαι, 8 μακάριος ἀνὴρ ⸀οὗ οὐ μὴ λογίσηται[a]
κύριος ἁμαρτίαν. 9 Ὁ μακαρισμὸς[a] οὖν οὗτος ἐπὶ τὴν περιτομὴν ἢ καὶ ἐπὶ τὴν
ἀκροβυστίαν;[b] λέγομεν[c] ⸀γάρ· Ἐλογίσθη[d] τῷ Ἀβραὰμ ἡ πίστις εἰς
δικαιοσύνην. 10 πῶς οὖν ἐλογίσθη;[a] ἐν περιτομῇ ὄντι[b] ἢ ἐν ἀκροβυστίᾳ;[c] οὐκ
ἐν περιτομῇ ἀλλ’ ἐν ἀκροβυστίᾳ·[d] 11 καὶ σημεῖον ἔλαβεν[a] περιτομῆς,

---

28 a V1PPMI
b VNPP
30 a εἴπερ *if indeed*
b V3SFAI
c NAFS ἀκροβυστία *uncircumcision*
31 a V1PPAI καταργέω *to nullify*
b V3SAMO
c V1PPAI

**Chapter 4**

1 a V1PFAI
b VNRA
c NAMS προπάτωρ *forefather*
2 a V3SAPI
b V3SPAI
c NANS καύχημα *something to boast about*
3 a V3SPAI
b V3SAAI
c V3SAPI
4 a VPPMDMS
b NNMS μισθός *wage*
c V3SPPI
d NANS ὀφείλημα *debt*
5 a VPPMDMS
b VPPADMS
c VPPAAMS
d NAMS ἀσεβής *ungodly*
e V3SPPI
6 a καθάπερ *as*
b V3SPAI
c NAMS μακαρισμός *blessedness*
d V3SPMI
7 a V3PAPI
b NNFP ἀνομία *wickedness*
c V3PAPI ἐπικαλύπτω *to be covered*
8 a V3SAMS
9 a NNMS μακαρισμός *blessedness*
b NAFS ἀκροβυστία *uncircumcision*
c V1PPAI
d V3SAPI
10 a V3SAPI
b VPPADMS
c NDFS ἀκροβυστία *uncircumcision*
d NDFS ἀκροβυστία *uncircumcision*
11 a V3SAAI

σφραγῖδα[b] τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ,[c] εἰς τὸ εἶναι[d]
αὐτὸν πατέρα πάντων τῶν πιστευόντων[e] διʼ ἀκροβυστίας,[f] εἰς τὸ ⸀λογισθῆναι[g]
αὐτοῖς τὴν δικαιοσύνην, 12 καὶ πατέρα περιτομῆς τοῖς οὐκ ἐκ περιτομῆς μόνον
ἀλλὰ καὶ τοῖς στοιχοῦσιν[a] τοῖς ἴχνεσιν[b] τῆς ⸂ἐν ἀκροβυστίᾳ[c] πίστεως⸃ τοῦ
πατρὸς ἡμῶν Ἀβραάμ. 13 Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ ἢ τῷ
σπέρματι αὐτοῦ, τὸ κληρονόμον[a] αὐτὸν ⸀εἶναι[b] κόσμου, ἀλλὰ διὰ δικαιοσύνης
πίστεως· 14 εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι,[a] κεκένωται[b] ἡ πίστις καὶ
κατήργηται[c] ἡ ἐπαγγελία· 15 ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται,[a] οὗ ⸀δὲ οὐκ
ἔστιν[b] νόμος, οὐδὲ παράβασις.[c] 16 Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς
τὸ εἶναι[a] βεβαίαν[b] τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου
μόνον ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ (ὅς ἐστιν[c] πατὴρ πάντων ἡμῶν,
17 καθὼς γέγραπται[a] ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά[b] σε), κατέναντι[c] οὗ
ἐπίστευσεν[d] θεοῦ τοῦ ζῳοποιοῦντος[e] τοὺς νεκροὺς καὶ καλοῦντος[f] τὰ μὴ ὄντα[g]
ὡς ὄντα·[h] 18 ὃς παρʼ ἐλπίδα ἐπʼ ἐλπίδι ἐπίστευσεν[a] εἰς τὸ γενέσθαι[b] αὐτὸν
πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον·[c] Οὕτως ἔσται[d] τὸ σπέρμα σου·
19 καὶ μὴ ἀσθενήσας[a] τῇ ⸀πίστει κατενόησεν[b] τὸ ἑαυτοῦ ⸀σῶμα
νενεκρωμένον,[c] ἑκατονταετής[d] που ὑπάρχων,[e] καὶ τὴν νέκρωσιν[f] τῆς μήτρας[g]
Σάρρας,[h] 20 εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη[a] τῇ ἀπιστίᾳ[b] ἀλλὰ
ἐνεδυναμώθη[c] τῇ πίστει, δοὺς[d] δόξαν τῷ θεῷ 21 καὶ πληροφορηθεὶς[a] ὅτι ὃ

---

b NAFS σφραγίς *seal*
c NDFS ἀκροβυστία *uncircumcision*
d VNPA
e VPPAGMP
f NGFS ἀκροβυστία *uncircumcision*
g VNAP
12 a VPPADMP στοιχέω *to follow*
b NDNP ἴχνος *step*
c NDFS ἀκροβυστία *uncircumcision*
13 a NAMS κληρονόμος *heir*
b VNPA
14 a NNMP κληρονόμος *heir*
b V3SRPI κενόω *to empty*
c V3SRPI καταργέω *to nullify*
15 a V3SPMI κατεργάζομαι *to produce*
b V3SPAI
c NNFS παράβασις *transgression*
16 a VNPA
b NAFS βέβαιος *firm*
c V3SPAI
17 a V3SRPI
b V1SRAI
c κατέναντι *ahead*
d V3SAAI
e VPPAGMS ζῳοποιέω *to make alive*
f VPPAGMS
g VPPAANP
h VPPAANP
18 a V3SAAI
b VNAM
c VPRPANS
d V3SFMI
19 a VPAANMS
b V3SAAI κατανοέω *to pay attention*
c VPRPANS νεκρόω *to put to death*
d NNMS ἑκατονταετής *a hundred years old*
e VPPANMS
f NAFS νέκρωσις *death*
g NGFS μήτρα *womb*
h NGFS Σάρρα *Sarah*
20 a V3SAPI διακρίνω *to make a distinction*
b NDFS ἀπιστία *unbelief*
c V3SAPI ἐνδυναμόω *to give strength*
d VPAANMS
21 a VPAPNMS πληροφορέω *to fulfill*

ἐπήγγελται[b] δυνατός ἐστιν[c] καὶ ποιῆσαι.[d] 22 ⸀διὸ ἐλογίσθη[a] αὐτῷ εἰς
δικαιοσύνην. 23 Οὐκ ἐγράφη[a] δὲ δι’ αὐτὸν μόνον ὅτι ἐλογίσθη[b] αὐτῷ, 24 ἀλλὰ
καὶ δι’ ἡμᾶς οἷς μέλλει[a] λογίζεσθαι,[b] τοῖς πιστεύουσιν[c] ἐπὶ τὸν ἐγείραντα[d]
Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν, 25 ὃς παρεδόθη[a] διὰ τὰ παραπτώματα[b]
ἡμῶν καὶ ἠγέρθη[c] διὰ τὴν δικαίωσιν[d] ἡμῶν.

**5** Δικαιωθέντες[a] οὖν ἐκ πίστεως εἰρήνην ⸀ἔχομεν[b] πρὸς τὸν θεὸν διὰ τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 2 δι’ οὗ καὶ τὴν προσαγωγὴν[a] ἐσχήκαμεν[b] τῇ
πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν,[c] καὶ καυχώμεθα[d] ἐπ’ ἐλπίδι τῆς
δόξης τοῦ θεοῦ· 3 οὐ μόνον δέ, ἀλλὰ καὶ ⸀καυχώμεθα[a] ἐν ταῖς θλίψεσιν,
εἰδότες[b] ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται,[c] 4 ἡ δὲ ὑπομονὴ δοκιμήν,[a] ἡ δὲ
δοκιμὴ[b] ἐλπίδα. 5 ἡ δὲ ἐλπὶς οὐ καταισχύνει·[a] ὅτι ἡ ἀγάπη τοῦ θεοῦ
ἐκκέχυται[b] ἐν ταῖς καρδίαις ἡμῶν διὰ πνεύματος ἁγίου τοῦ δοθέντος[c] ἡμῖν.
6 ⸂Ἔτι γὰρ⸃ Χριστὸς ὄντων[a] ἡμῶν ἀσθενῶν[b] ⸀ἔτι κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν[c]
ἀπέθανεν.[d] 7 μόλις[a] γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται·[b] ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ
τάχα[c] τις καὶ τολμᾷ[d] ἀποθανεῖν·[e] 8 συνίστησιν[a] δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς
ἡμᾶς ὁ θεὸς ὅτι ἔτι ἁμαρτωλῶν ὄντων[b] ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν.[c]
9 πολλῷ οὖν μᾶλλον δικαιωθέντες[a] νῦν ἐν τῷ αἵματι αὐτοῦ σωθησόμεθα[b] δι’
αὐτοῦ ἀπὸ τῆς ὀργῆς. 10 εἰ γὰρ ἐχθροὶ ὄντες[a] κατηλλάγημεν[b] τῷ θεῷ διὰ τοῦ
θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες[c] σωθησόμεθα[d] ἐν τῇ

---

b V3SRMI ἐπαγγέλλομαι *to promise*
c V3SPAI
d VNAA
22 a V3SAPI
23 a V3SAPI
b V3SAPI
24 a V3SPAI
b VNPP
c VPPADMP
d VPAAAMS
25 a V3SAPI
b NANP παράπτωμα *trespass*
c V3SAPI
d NAFS δικαίωσις *justification*

**Chapter 5**

1 a VPAPNMP
b V1PPAI
2 a NAFS προσαγωγή *access*
b V1PRAI
c V1PRAI
d V1PPMI
3 a V1PPMI
b VPRANMP
c V3SPMI κατεργάζομαι *to produce*
4 a NAFS δοκιμή *character*
b NNFS δοκιμή *character*
5 a V3SPAI καταισχύνω *to dishonor*
b V3SRPI ἐκχέω *to pour out*
c VPAPGNS
6 a VPPAGMP
b NGMP ἀσθενής *weak*
c NGMP ἀσεβής *ungodly*
d V3SAAI
7 a μόλις *with difficulty*
b V3SFMI
c τάχα *perhaps*
d V3SPAI τολμάω *to dare*
e VNAA
8 a V3SPAI συνίστημι *to commend*
b VPPAGMP
c V3SAAI
9 a VPAPNMP
b V1PFPI
10 a VPPANMP
b V1PAPI καταλλάσσω *to reconcile*
c VPAPNMP καταλλάσσω *to reconcile*
d V1PFPI

ζωῇ αὐτοῦ· 11 οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι[a] ἐν τῷ θεῷ διὰ τοῦ κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ, δι’ οὗ νῦν τὴν καταλλαγὴν[b] ἐλάβομεν.[c] 12 Διὰ τοῦτο
ὥσπερ δι’ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν[a] καὶ διὰ τῆς
ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν[b] ἐφ’ ᾧ
πάντες ἥμαρτον—[c] 13 ἄχρι γὰρ νόμου ἁμαρτία ἦν[a] ἐν κόσμῳ, ἁμαρτία δὲ οὐκ
ἐλλογεῖται[b] μὴ ὄντος[c] νόμου, 14 ἀλλὰ ἐβασίλευσεν[a] ὁ θάνατος ἀπὸ Ἀδὰμ[b]
μέχρι[c] Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας[d] ἐπὶ τῷ ὁμοιώματι[e] τῆς
παραβάσεως[f] Ἀδάμ,[g] ὅς ἐστιν[h] τύπος[i] τοῦ μέλλοντος.[j] 15 Ἀλλ’ οὐχ ὡς τὸ
παράπτωμα,[a] οὕτως καὶ τὸ χάρισμα·[b] εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι[c] οἱ
πολλοὶ ἀπέθανον,[d] πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ καὶ ἡ δωρεὰ[e] ἐν χάριτι τῇ
τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν.[f] 16 καὶ οὐχ
ὡς δι’ ἑνὸς ἁμαρτήσαντος[a] τὸ δώρημα·[b] τὸ μὲν γὰρ κρίμα[c] ἐξ ἑνὸς εἰς
κατάκριμα,[d] τὸ δὲ χάρισμα[e] ἐκ πολλῶν παραπτωμάτων[f] εἰς δικαίωμα.[g] 17 εἰ
γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι[a] ὁ θάνατος ἐβασίλευσεν[b] διὰ τοῦ ἑνός, πολλῷ
μᾶλλον οἱ τὴν περισσείαν[c] τῆς χάριτος καὶ τῆς δωρεᾶς[d] τῆς δικαιοσύνης
λαμβάνοντες[e] ἐν ζωῇ βασιλεύσουσιν[f] διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ. 18 Ἄρα οὖν
ὡς δι’ ἑνὸς παραπτώματος[a] εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα,[b] οὕτως καὶ
δι’ ἑνὸς δικαιώματος[c] εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν[d] ζωῆς· 19 ὥσπερ

---

11 a VPPMNMP
b NAFS καταλλαγή *reconciliation*
c V1PAAI
12 a V3SAAI
b V3SAAI
c V3PAAI
13 a V3SIAI
b V3SPPI ἐλλογέω *to be charged to one’s account*
c VPPAGMS
14 a V3SAAI βασιλεύω *to reign as a king*
b NGMS Ἀδάμ *Adam*
c μέχρι(ς) *until*
d VPAAAMP
e NDNS ὁμοίωμα *likeness*
f NGFS παράβασις *transgression*
g NGMS Ἀδάμ *Adam*
h V3SPAI
i NNMS τύπος *pattern*
j VPPAGMS
15 a NNNS παράπτωμα *trespass*
b NNNS χάρισμα *gracious gift*
c NDNS παράπτωμα *trespass*
d V3PAAI
e NNFS δωρεά *gift*
f V3SAAI
16 a VPAAGMS
b NNNS δώρημα *gift*
c NNNS κρίμα *judgment*
d NANS κατάκριμα *condemnation*
e NNNS χάρισμα *gracious gift*
f NGNP παράπτωμα *trespass*
g NANS δικαίωμα *regulation*
17 a NDNS παράπτωμα *trespass*
b V3SAAI βασιλεύω *to reign as a king*
c NAFS περισσεία *abundance*
d NGFS δωρεά *gift*
e VPPANMP
f V3PFAI βασιλεύω *to reign as a king*
18 a NGNS παράπτωμα *trespass*
b NANS κατάκριμα *condemnation*
c NGNS δικαίωμα *regulation*
d NAFS δικαίωσις *justification*

γὰρ διὰ τῆς παρακοῆς[a] τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν[b] οἱ
πολλοί, οὕτως καὶ διὰ τῆς ὑπακοῆς[c] τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται[d] οἱ
πολλοί. 20 νόμος δὲ παρεισῆλθεν[a] ἵνα πλεονάσῃ[b] τὸ παράπτωμα·[c] οὗ δὲ
ἐπλεόνασεν[d] ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν[e] ἡ χάρις, 21 ἵνα ὥσπερ
ἐβασίλευσεν[a] ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτως καὶ ἡ χάρις βασιλεύσῃ[b] διὰ
δικαιοσύνης εἰς ζωὴν αἰώνιον διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

**6** Τί οὖν ἐροῦμεν;[a] ⸀ἐπιμένωμεν[b] τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ;[c] 2 μὴ
γένοιτο·[a] οἵτινες ἀπεθάνομεν[b] τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν[c] ἐν αὐτῇ; 3 ἢ
ἀγνοεῖτε[a] ὅτι ὅσοι ἐβαπτίσθημεν[b] εἰς Χριστὸν Ἰησοῦν εἰς τὸν θάνατον αὐτοῦ
ἐβαπτίσθημεν;[c] 4 συνετάφημεν[a] οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος[b] εἰς τὸν
θάνατον, ἵνα ὥσπερ ἠγέρθη[c] Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός,
οὕτως καὶ ἡμεῖς ἐν καινότητι[d] ζωῆς περιπατήσωμεν.[e] 5 Εἰ γὰρ σύμφυτοι[a]
γεγόναμεν[b] τῷ ὁμοιώματι[c] τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως
ἐσόμεθα·[d] 6 τοῦτο γινώσκοντες[a] ὅτι ὁ παλαιὸς[b] ἡμῶν ἄνθρωπος
συνεσταυρώθη,[c] ἵνα καταργηθῇ[d] τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι[e]
δουλεύειν[f] ἡμᾶς τῇ ἁμαρτίᾳ, 7 ὁ γὰρ ἀποθανὼν[a] δεδικαίωται[b] ἀπὸ τῆς
ἁμαρτίας. 8 εἰ δὲ ἀπεθάνομεν[a] σὺν Χριστῷ, πιστεύομεν[b] ὅτι καὶ συζήσομεν[c]
αὐτῷ· 9 εἰδότες[a] ὅτι Χριστὸς ἐγερθεὶς[b] ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει,[c]

---

19 a NGFS παρακοή *disobedience*
b V3PAPI καθίστημι *to put in charge*
c NGFS ὑπακοή *obedience*
d V3PFPI καθίστημι *to put in charge*
20 a V3SAAI παρεισέρχομαι *to come in*
b V3SAAS πλεονάζω *to make increase*
c NNNS παράπτωμα *trespass*
d V3SAAI πλεονάζω *to make increase*
e V3SAAI ὑπερπερισσεύω *to increase all the more*
21 a V3SAAI βασιλεύω *to reign as a king*
b V3SAAS βασιλεύω *to reign as a king*

**Chapter 6**
1 a V1PFAI
b V1PPAS ἐπιμένω *to stay*
c V3SAAS πλεονάζω *to make increase*
2 a V3SAMO
b V1PAAI
c V1PFAI
3 a V2PPAI ἀγνοέω *to be ignorant*
b V1PAPI
c V1PAPI
4 a V1PAPI συνθάπτομαι *to be buried with*
b NGNS βάπτισμα *baptism*
c V3SAPI
d NDFS καινότης *newness*
e V1PAAS
5 a NNMP σύμφυτος *united*
b V1PRAI
c NDNS ὁμοίωμα *likeness*
d V1PFMI
6 a VPPANMP
b NNMS παλαιός *old*
c V3SAPI συσταυρόομαι *to be crucified with*
d V3SAPS καταργέω *to nullify*
e μηκέτι *no longer*
f VNPA δουλεύω *to serve*
7 a VPAANMS
b V3SRPI
8 a V1PAAI
b V1PPAI
c V1PFAI συζάω *to live with*
9 a VPRANMP
b VPAPNMS
c V3SPAI

θάνατος αὐτοῦ οὐκέτι κυριεύει·[d] 10 ὃ γὰρ ἀπέθανεν,[a] τῇ ἁμαρτίᾳ ἀπέθανεν[b]
ἐφάπαξ·[c] ὃ δὲ ζῇ,[d] ζῇ[e] τῷ θεῷ. 11 οὕτως καὶ ὑμεῖς λογίζεσθε[a] ἑαυτοὺς ⸀εἶναι[b]
νεκροὺς μὲν⸁ τῇ ἁμαρτίᾳ ζῶντας[c] δὲ τῷ θεῷ ἐν Χριστῷ ⸀Ἰησοῦ. 12 Μὴ οὖν
βασιλευέτω[a] ἡ ἁμαρτία ἐν τῷ θνητῷ[b] ὑμῶν σώματι εἰς τὸ ⸀ὑπακούειν[c] ταῖς
ἐπιθυμίαις αὐτοῦ, 13 μηδὲ παριστάνετε[a] τὰ μέλη ὑμῶν ὅπλα[b] ἀδικίας[c] τῇ
ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε[d] ἑαυτοὺς τῷ θεῷ ⸀ὡσεὶ[e] ἐκ νεκρῶν ζῶντας[f] καὶ
τὰ μέλη ὑμῶν ὅπλα[g] δικαιοσύνης τῷ θεῷ. 14 ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει,[a]
οὐ γάρ ἐστε[b] ὑπὸ νόμον ἀλλὰ ὑπὸ χάριν. 15 Τί οὖν; ⸀ἁμαρτήσωμεν[a] ὅτι οὐκ
ἐσμὲν[b] ὑπὸ νόμον ἀλλὰ ὑπὸ χάριν; μὴ γένοιτο·[c] 16 οὐκ οἴδατε[a] ὅτι ᾧ
παριστάνετε[b] ἑαυτοὺς δούλους εἰς ὑπακοήν,[c] δοῦλοί ἐστε[d] ᾧ ὑπακούετε,[e] ἤτοι[f]
ἁμαρτίας εἰς θάνατον ἢ ὑπακοῆς[g] εἰς δικαιοσύνην; 17 χάρις δὲ τῷ θεῷ ὅτι ἦτε[a]
δοῦλοι τῆς ἁμαρτίας ὑπηκούσατε[b] δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε[c] τύπον[d]
διδαχῆς, 18 ἐλευθερωθέντες[a] δὲ ἀπὸ τῆς ἁμαρτίας ἐδουλώθητε[b] τῇ δικαιοσύνῃ·
19 ἀνθρώπινον[a] λέγω[b] διὰ τὴν ἀσθένειαν[c] τῆς σαρκὸς ὑμῶν· ὥσπερ γὰρ
παρεστήσατε[d] τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ[e] καὶ τῇ ἀνομίᾳ[f] εἰς τὴν
ἀνομίαν,[g] οὕτως νῦν παραστήσατε[h] τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς
ἁγιασμόν.[i] 20 Ὅτε γὰρ δοῦλοι ἦτε[a] τῆς ἁμαρτίας, ἐλεύθεροι[b] ἦτε[c] τῇ

---

d V3SPAI κυριεύω *to lord over*
10 a V3SAAI
b V3SAAI
c ἐφάπαξ *once for all*
d V3SPAI
e V3SPAI
11 a V2PPMM
b VNPA
c VPPAAMP
12 a V3SPAM βασιλεύω *to reign as a king*
b NDNS θνητός *mortal*
c VNPA ὑπακούω *to obey*
13 a V2PPAM
b NANP ὅπλον *instrument*
c NGFS ἀδικία *wickedness*
d V2PAAM
e ὡσεί *like*
f VPPAAMP
g NANP ὅπλον *instrument*
14 a V3SFAI κυριεύω *to lord over*
b V2PPAI
15 a V1PAAS
b V1PPAI
c V3SAMO
16 a V2PRAI
b V2PPAI
c NAFS ὑπακοή *obedience*
d V2PPAI
e V2PPAI ὑπακούω *to obey*
f ἤτοι *whether...or*
g NGFS ὑπακοή *obedience*
17 a V2PIAI
b V2PAAI ὑπακούω *to obey*
c V2PAPI
d NAMS τύπος *pattern*
18 a VPAPNMP ἐλευθερόω *to set free*
b V2PAPI δουλόω *to enslave*
19 a NANS ἀνθρώπινος *human*
b V1SPAI
c NAFS ἀσθένεια *weakness*
d V2PAAI
e NDFS ἀκαθαρσία *impurity*
f NDFS ἀνομία *wickedness*
g NAFS ἀνομία *wickedness*
h V2PAAM
i NAMS ἁγιασμός *holiness*
20 a V2PIAI
b NNMP ἐλεύθερος *free*
c V2PIAI

δικαιοσύνῃ. 21 τίνα οὖν καρπὸν εἴχετε[a] τότε ἐφ’ οἷς νῦν ἐπαισχύνεσθε;[b] τὸ
γὰρ τέλος ἐκείνων θάνατος· 22 νυνὶ[a] δέ, ἐλευθερωθέντες[b] ἀπὸ τῆς ἁμαρτίας
δουλωθέντες[c] δὲ τῷ θεῷ, ἔχετε[d] τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν,[e] τὸ δὲ τέλος
ζωὴν αἰώνιον. 23 τὰ γὰρ ὀψώνια[a] τῆς ἁμαρτίας θάνατος, τὸ δὲ χάρισμα[b] τοῦ
θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

**7** Ἢ ἀγνοεῖτε,[a] ἀδελφοί, γινώσκουσιν[b] γὰρ νόμον λαλῶ,[c] ὅτι ὁ νόμος
κυριεύει[d] τοῦ ἀνθρώπου ἐφ’ ὅσον χρόνον ζῇ;[e] 2 ἡ γὰρ ὕπανδρος[a] γυνὴ τῷ
ζῶντι[b] ἀνδρὶ δέδεται[c] νόμῳ· ἐὰν δὲ ἀποθάνῃ[d] ὁ ἀνήρ, κατήργηται[e] ἀπὸ τοῦ
νόμου τοῦ ἀνδρός. 3 ἄρα οὖν ζῶντος[a] τοῦ ἀνδρὸς μοιχαλὶς[b] χρηματίσει[c] ἐὰν
γένηται[d] ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ[e] ὁ ἀνήρ, ἐλευθέρα[f] ἐστὶν[g] ἀπὸ τοῦ
νόμου, τοῦ μὴ εἶναι[h] αὐτὴν μοιχαλίδα[i] γενομένην[j] ἀνδρὶ ἑτέρῳ. 4 Ὥστε,
ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε[a] τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ,
εἰς τὸ γενέσθαι[b] ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι[c] ἵνα καρποφορήσωμεν[d]
τῷ θεῷ. 5 ὅτε γὰρ ἦμεν[a] ἐν τῇ σαρκί, τὰ παθήματα[b] τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ
νόμου ἐνηργεῖτο[c] ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρποφορῆσαι[d] τῷ θανάτῳ·
6 νυνὶ[a] δὲ κατηργήθημεν[b] ἀπὸ τοῦ νόμου, ἀποθανόντες[c] ἐν ᾧ κατειχόμεθα,[d]
ὥστε δουλεύειν[e] ἡμᾶς ἐν καινότητι[f] πνεύματος καὶ οὐ παλαιότητι[g]

---

21 a V2PIAI
b V2PPMI ἐπαισχύνομαι *to be ashamed of*
22 a νυνί *now*
b VPAPNMP ἐλευθερόω *to set free*
c VPAPNMP δουλόω *to enslave*
d V2PPAI
e NAMS ἁγιασμός *holiness*
23 a NNNP ὀψώνιον *pay*
b NNNS χάρισμα *gracious gift*

**Chapter 7**

1 a V2PPAI ἀγνοέω *to be ignorant*
b VPPADMP
c V1SPAI
d V3SPAI κυριεύω *to lord over*
e V3SPAI
2 a NNFS ὕπανδρος *married*
b VPPADMS
c V3SRPI
d V3SAAS
e V3SRPI καταργέω *to nullify*
3 a VPPAGMS
b NNFS μοιχαλίς *adulteress*
c V3SFAI χρηματίζω *to warn*
d V3SAMS
e V3SAAS
f NNFS ἐλεύθερος *free*
g V3SPAI
h VNPA
i NAFS μοιχαλίς *adulteress*
j VPAMAFS
4 a V2PAPI θανατόω *to put to death*
b VNAM
c VPAPDMS
d V1PAAS καρποφορέω *to produce a crop*
5 a V1PIAI
b NNNP πάθημα *suffering*
c V3SIMI ἐνεργέω *to be at work in*
d VNAA καρποφορέω *to produce a crop*
6 a νυνί *now*
b V1PAPI καταργέω *to nullify*
c VPAANMP
d V1PIPI κατέχω *to hold back*
e VNPA δουλεύω *to serve*
f NDFS καινότης *newness*
g NDFS παλαιότης *the old way*

γράμματος.[h] 7 Τί οὖν ἐροῦμεν;[a] ὁ νόμος ἁμαρτία; μὴ γένοιτο·[b] ἀλλὰ τὴν
ἁμαρτίαν οὐκ ἔγνων[c] εἰ μὴ διὰ νόμου, τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν[d] εἰ μὴ ὁ
νόμος ἔλεγεν·[e] Οὐκ ἐπιθυμήσεις·[f] 8 ἀφορμὴν[a] δὲ λαβοῦσα[b] ἡ ἁμαρτία διὰ τῆς
ἐντολῆς κατειργάσατο[c] ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν, χωρὶς γὰρ νόμου ἁμαρτία
νεκρά. 9 ἐγὼ δὲ ἔζων[a] χωρὶς νόμου ποτέ· ἐλθούσης[b] δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία
ἀνέζησεν,[c] 10 ἐγὼ δὲ ἀπέθανον,[a] καὶ εὑρέθη[b] μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν αὕτη εἰς
θάνατον· 11 ἡ γὰρ ἁμαρτία ἀφορμὴν[a] λαβοῦσα[b] διὰ τῆς ἐντολῆς ἐξηπάτησέν[c]
με καὶ δι’ αὐτῆς ἀπέκτεινεν.[d] 12 ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία
καὶ δικαία καὶ ἀγαθή. 13 Τὸ οὖν ἀγαθὸν ἐμοὶ ⸀ἐγένετο[a] θάνατος; μὴ γένοιτο·[b]
ἀλλὰ ἡ ἁμαρτία, ἵνα φανῇ[c] ἁμαρτία διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη[d]
θάνατον· ἵνα γένηται[e] καθ’ ὑπερβολὴν[f] ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς.
14 Οἴδαμεν[a] γὰρ ὅτι ὁ νόμος πνευματικός[b] ἐστιν·[c] ἐγὼ δὲ ⸀σάρκινός[d] εἰμι,[e]
πεπραμένος[f] ὑπὸ τὴν ἁμαρτίαν. 15 ὃ γὰρ κατεργάζομαι[a] οὐ γινώσκω·[b] οὐ γὰρ
ὃ θέλω[c] τοῦτο πράσσω,[d] ἀλλ’ ὃ μισῶ[e] τοῦτο ποιῶ.[f] 16 εἰ δὲ ὃ οὐ θέλω[a] τοῦτο
ποιῶ,[b] σύμφημι[c] τῷ νόμῳ ὅτι καλός. 17 νυνὶ[a] δὲ οὐκέτι ἐγὼ κατεργάζομαι[b]
αὐτὸ ἀλλὰ ἡ ⸀οἰκοῦσα[c] ἐν ἐμοὶ ἁμαρτία. 18 οἶδα[a] γὰρ ὅτι οὐκ οἰκεῖ[b] ἐν ἐμοί,
τοῦτ’ ἔστιν[c] ἐν τῇ σαρκί μου, ἀγαθόν· τὸ γὰρ θέλειν[d] παράκειταί[e] μοι, τὸ δὲ

---

h NGNS γράμμα *letter*
7 a V1PFAI
b V3SAMO
c V1SAAI
d V1SPAI
e V3SIAI
f V2SFAI ἐπιθυμέω *to long for*
8 a NAFS ἀφορμή *opportunity*
b VPAANFS
c V3SAMI κατεργάζομαι *to produce*
9 a V1SIAI
b VPAAGFS
c V3SAAI ἀναζάω *to become alive again*
10 a V1SAAI
b V3SAPI
11 a NAFS ἀφορμή *opportunity*
b VPAANFS
c V3SAAI ἐξαπατάω *to deceive*
d V3SAAI
13 a V3SAMI
b V3SAMO
c V3SAPS
d VPPMNFS κατεργάζομαι *to produce*
e V3SAMS
f NAFS ὑπερβολή *all-surpassing*
14 a V1PRAI
b NNMS πνευματικός *spiritual*
c V3SPAI
d NNMS σάρκινος *fleshly*
e V1SPAI
f VPRPNMS πιπράσκω *to sell*
15 a V1SPMI κατεργάζομαι *to produce*
b V1SPAI
c V1SPAI
d V1SPAI
e V1SPAI
f V1SPAI
16 a V1SPAI
b V1SPAI
c V1SPAI σύμφημι *to agree with*
17 a νυνί *now*
b V1SPMI κατεργάζομαι *to produce*
c VPPANFS οἰκέω *to live*
18 a V1SRAI
b V3SPAI οἰκέω *to live*
c V3SPAI
d VNPA
e V3SPMI παράκειμαι *to be present*

κατεργάζεσθαι[f] τὸ καλὸν ⸀οὔ· 19 οὐ γὰρ ὃ θέλω[a] ποιῶ[b] ἀγαθόν, ἀλλὰ ὃ οὐ
θέλω[c] κακὸν τοῦτο πράσσω.[d] 20 εἰ δὲ ὃ οὐ ⸀θέλω[a] τοῦτο ποιῶ,[b] οὐκέτι ἐγὼ
κατεργάζομαι[c] αὐτὸ ἀλλὰ ἡ οἰκοῦσα[d] ἐν ἐμοὶ ἁμαρτία. 21 Εὑρίσκω[a] ἄρα τὸν
νόμον τῷ θέλοντι[b] ἐμοὶ ποιεῖν[c] τὸ καλὸν ὅτι ἐμοὶ τὸ κακὸν παράκειται·[d]
22 συνήδομαι[a] γὰρ τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω[b] ἄνθρωπον, 23 βλέπω[a] δὲ
ἕτερον νόμον ἐν τοῖς μέλεσίν μου ἀντιστρατευόμενον[b] τῷ νόμῳ τοῦ νοός[c] μου
καὶ αἰχμαλωτίζοντά[d] με ⸀ἐν τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι[e] ἐν τοῖς μέλεσίν
μου. 24 ταλαίπωρος[a] ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται[b] ἐκ τοῦ σώματος τοῦ
θανάτου τούτου; 25 ⸀χάρις τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἄρα
οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ[a] δουλεύω[b] νόμῳ θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας.

**8** Οὐδὲν ἄρα νῦν κατάκριμα[a] τοῖς ἐν Χριστῷ ⸀Ἰησοῦ· 2 ὁ γὰρ νόμος τοῦ
πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέν[a] ⸀σε ἀπὸ τοῦ νόμου τῆς
ἁμαρτίας καὶ τοῦ θανάτου. 3 τὸ γὰρ ἀδύνατον[a] τοῦ νόμου, ἐν ᾧ ἠσθένει[b] διὰ
τῆς σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας[c] ἐν ὁμοιώματι[d] σαρκὸς ἁμαρτίας
καὶ περὶ ἁμαρτίας κατέκρινε[e] τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, 4 ἵνα τὸ δικαίωμα[a]
τοῦ νόμου πληρωθῇ[b] ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν[c] ἀλλὰ κατὰ
πνεῦμα· 5 οἱ γὰρ κατὰ σάρκα ὄντες[a] τὰ τῆς σαρκὸς φρονοῦσιν,[b] οἱ δὲ κατὰ
πνεῦμα τὰ τοῦ πνεύματος. 6 τὸ γὰρ φρόνημα[a] τῆς σαρκὸς θάνατος, τὸ δὲ
φρόνημα[b] τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη· 7 διότι[a] τὸ φρόνημα[b] τῆς σαρκὸς

---

f VNPM κατεργάζομαι *to produce*
19 a V1SPAI
b V1SPAI
c V1SPAI
d V1SPAI
20 a V1SPAI
b V1SPAI
c V1SPMI κατεργάζομαι *to produce*
d VPPANFS οἰκέω *to live*
21 a V1SPAI
b VPPADMS
c VNPA
d V3SPMI παράκειμαι *to be present*
22 a V1SPMI συνήδομαι *to delight in agreement*
b ἔσω *in*
23 a V1SPAI
b VPPMAMS ἀντιστρατεύομαι *to wage war against*
c NGMS νοῦς *mind*
d VPPAAMS αἰχμαλωτίζω *to take captive*
e VPPADMS
24 a NNMS ταλαίπωρος *wretched*
b V3SFMI ῥύομαι *to rescue*
25 a NDMS νοῦς *mind*
b V1SPAI δουλεύω *to serve*

**Chapter 8**
1 a NNNS κατάκριμα *condemnation*
2 a V3SAAI ἐλευθερόω *to set free*
3 a NANS ἀδύνατος *impossible*
b V3SIAI
c VPAANMS
d NDNS ὁμοίωμα *likeness*
e V3SAAI κατακρίνω *to condemn*
4 a NNNS δικαίωμα *regulation*
b V3SAPS
c VPPADMP
5 a VPPANMP
b V3PPAI φρονέω *to think*
6 a NNNS φρόνημα *mind*
b NNNS φρόνημα *mind*
7 a διότι *therefore*
b NNNS φρόνημα *mind*

ἔχθρα[c] εἰς θεόν, τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται,[d] οὐδὲ γὰρ δύναται·[e]
8 οἱ δὲ ἐν σαρκὶ ὄντες[a] θεῷ ἀρέσαι[b] οὐ δύνανται.[c] 9 Ὑμεῖς δὲ οὐκ ἐστὲ[a] ἐν
σαρκὶ ἀλλὰ ἐν πνεύματι, εἴπερ[b] πνεῦμα θεοῦ οἰκεῖ[c] ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα
Χριστοῦ οὐκ ἔχει,[d] οὗτος οὐκ ἔστιν[e] αὐτοῦ. 10 εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν
σῶμα νεκρὸν διὰ ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. 11 εἰ δὲ τὸ
πνεῦμα τοῦ ἐγείραντος[a] ⸀τὸν Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ[b] ἐν ὑμῖν, ὁ ἐγείρας[c] ⸀ἐκ
νεκρῶν Χριστὸν Ἰησοῦν⸃ ζῳοποιήσει[d] καὶ τὰ θνητὰ[e] σώματα ὑμῶν διὰ ⸀τὸ
ἐνοικοῦν[f] αὐτοῦ πνεῦμα⸃ ἐν ὑμῖν. 12 Ἄρα οὖν, ἀδελφοί, ὀφειλέται[a] ἐσμέν,[b] οὐ
τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν,[c] 13 εἰ γὰρ κατὰ σάρκα ζῆτε[a] μέλλετε[b]
ἀποθνῄσκειν,[c] εἰ δὲ πνεύματι τὰς πράξεις[d] τοῦ σώματος θανατοῦτε,[e] ζήσεσθε.[f]
14 ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται,[a] οὗτοι ⸀υἱοί εἰσιν[b] θεοῦ⸃. 15 οὐ γὰρ
ἐλάβετε[a] πνεῦμα δουλείας[b] πάλιν εἰς φόβον, ἀλλὰ ἐλάβετε[c] πνεῦμα
υἱοθεσίας[d] ἐν ᾧ κράζομεν·[e] Αββα[f] ὁ πατήρ· 16 αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ[a]
τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν[b] τέκνα θεοῦ. 17 εἰ δὲ τέκνα, καὶ κληρονόμοι·[a]
κληρονόμοι[b] μὲν θεοῦ, συγκληρονόμοι[c] δὲ Χριστοῦ, εἴπερ[d] συμπάσχομεν[e] ἵνα
καὶ συνδοξασθῶμεν.[f] 18 Λογίζομαι[a] γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα[b] τοῦ νῦν
καιροῦ πρὸς τὴν μέλλουσαν[c] δόξαν ἀποκαλυφθῆναι[d] εἰς ἡμᾶς. 19 ἡ γὰρ
ἀποκαραδοκία[a] τῆς κτίσεως[b] τὴν ἀποκάλυψιν[c] τῶν υἱῶν τοῦ θεοῦ

---

c NNFS ἔχθρα *hostility*
d V3SPPI
e V3SPMI
8 a VPPANMP
b VNAA ἀρέσκω *to please*
c V3PPMI
9 a V2PPAI
b εἴπερ *if indeed*
c V3SPAI οἰκέω *to live*
d V3SPAI
e V3SPAI
11 a VPAAGMS
b V3SPAI οἰκέω *to live*
c VPAANMS
d V3SFAI ζῳοποιέω *to make alive*
e NANP θνητός *mortal*
f VPPAANS ἐνοικέω *to live in*
12 a NNMP ὀφειλέτης *debtor*
b V1PPAI
c VNPA
13 a V2PPAI
b V2PPAI
c VNPA
d NAFP πρᾶξις *deed*
e V2PPAI θανατόω *to put to death*
f V2PFMI
14 a V3PPPI
b V3PPAI
15 a V2PAAI
b NGFS δουλεία *slavery*
c V2PAAI
d NGFS υἱοθεσία *adoption as sons*
e V1PPAI
f NMS αββα *father*
16 a V3SPAI συμμαρτυρέω *to testify with*
b V1PPAI
17 a NNMP κληρονόμος *heir*
b NNMP κληρονόμος *heir*
c NNMP συγκληρονόμος *inheriting together*
d εἴπερ *if indeed*
e V1PPAI συμπάσχω *to suffer with*
f V1PAPS συνδοξάζομαι *to be glorified with*
18 a V1SPMI
b NNNP πάθημα *suffering*
c VPPAAFS
d VNAP ἀποκαλύπτω *to reveal*
19 a NNFS ἀποκαραδοκία *eager expectation*
b NGFS κτίσις *creation*
c NAFS ἀποκάλυψις *revelation*

ἀπεκδέχεται·[d] 20 τῇ γὰρ ματαιότητι[a] ἡ κτίσις[b] ὑπετάγη,[c] οὐχ ἑκοῦσα[d] ἀλλὰ
διὰ τὸν ὑποτάξαντα,[e] ⸀ἐφ’ ἑλπίδι 21 ὅτι καὶ αὐτὴ ἡ κτίσις[a] ἐλευθερωθήσεται[b]
ἀπὸ τῆς δουλείας[c] τῆς φθορᾶς[d] εἰς τὴν ἐλευθερίαν[e] τῆς δόξης τῶν τέκνων τοῦ
θεοῦ. 22 οἴδαμεν[a] γὰρ ὅτι πᾶσα ἡ κτίσις[b] συστενάζει[c] καὶ συνωδίνει[d] ἄχρι τοῦ
νῦν· 23 οὐ μόνον δέ, ἀλλὰ ⸂καὶ αὐτοὶ⸃ τὴν ἀπαρχὴν[a] τοῦ πνεύματος ἔχοντες[b]
⸂ἡμεῖς καὶ⸃ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν,[c] υἱοθεσίαν[d] ἀπεκδεχόμενοι[e] τὴν
ἀπολύτρωσιν[f] τοῦ σώματος ἡμῶν. 24 τῇ γὰρ ἐλπίδι ἐσώθημεν·[a] ἐλπὶς δὲ
βλεπομένη[b] οὐκ ἔστιν[c] ἐλπίς, ὃ γὰρ βλέπει[d] ⸀τίς ἐλπίζει;[e] 25 εἰ δὲ ὃ οὐ
βλέπομεν[a] ἐλπίζομεν,[b] δι’ ὑπομονῆς ἀπεκδεχόμεθα.[c] 26 Ὡσαύτως[a] δὲ καὶ τὸ
πνεῦμα συναντιλαμβάνεται[b] ⸂τῇ ἀσθενείᾳ⸃[c] ἡμῶν· τὸ γὰρ τί ⸀προσευξώμεθα[d]
καθὸ[e] δεῖ[f] οὐκ οἴδαμεν,[g] ἀλλὰ αὐτὸ τὸ πνεῦμα ⸀ὑπερεντυγχάνει[h] στεναγμοῖς[i]
ἀλαλήτοις,[j] 27 ὁ δὲ ἐραυνῶν[a] τὰς καρδίας οἶδεν[b] τί τὸ φρόνημα[c] τοῦ
πνεύματος, ὅτι κατὰ θεὸν ἐντυγχάνει[d] ὑπὲρ ἁγίων. 28 Οἴδαμεν[a] δὲ ὅτι τοῖς
ἀγαπῶσι[b] τὸν θεὸν πάντα ⸀συνεργεῖ[c] εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν[d] κλητοῖς[e]
οὖσιν.[f] 29 ὅτι οὓς προέγνω,[a] καὶ προώρισεν[b] συμμόρφους[c] τῆς εἰκόνος[d] τοῦ

---

d V3SPMI ἀπεκδέχομαι *wait eagerly for*
20 a NDFS ματαιότης *emptiness*
b NNFS κτίσις *creation*
c V3SAPI
d NNFS ἑκών *voluntarily*
e VPAAAMS
21 a NNFS κτίσις *creation*
b V3SFPI ἐλευθερόω *to set free*
c NGFS δουλεία *slavery*
d NGFS φθορά *perishableness*
e NAFS ἐλευθερία *freedom*
22 a V1PRAI
b NNFS κτίσις *creation*
c V3SPAI συστενάζω *to join in groaning*
d V3SPAI συνωδίνω *suffer together*
23 a NAFS ἀπαρχή *firstfruits*
b VPPANMP
c V1PPAI στενάζω *to groan*
d NAFS υἱοθεσία *adoption as sons*
e VPPMNMP ἀπεκδέχομαι *wait eagerly for*
f NAFS ἀπολύτρωσις *redemption*
24 a V1PAPI
b VPPPNFS
c V3SPAI
d V3SPAI
e V3SPAI
25 a V1PPAI
b V1PPAI
c V1PPMI ἀπεκδέχομαι *wait eagerly for*
26 a ὡσαύτως *in the same way*
b V3SPMI συναντιλαμβάνομαι *to help*
c NDFS ἀσθένεια *weakness*
d V1PAMS
e καθό *insofar as*
f V3SPAI
g V1PRAI
h V3SPAI ὑπερεντυγχάνω *to intercede*
i NDMP στεναγμός *groan*
j NDMP ἀλάλητος *inexpressible*
27 a VPPANMS ἐραυνάω *to search*
b V3SRAI
c NNNS φρόνημα *mind*
d V3SPAI ἐντυγχάνω *to intercede*
28 a V1PRAI
b VPPADMP
c V3SPAI συνεργέω *to work together*
d NAFS πρόθεσις *plan*
e NDMP κλητός *called*
f VPPADMP
29 a V3SAAI προγινώσκω *to know beforehand*
b V3SAAI προορίζω *to predestine*
c NAMP σύμμορφος *conformed*
d NGFS εἰκών *image*

υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι[e] αὐτὸν πρωτότοκον[f] ἐν πολλοῖς ἀδελφοῖς· 30 οὓς δὲ
προώρισεν,[a] τούτους καὶ ἐκάλεσεν·[b] καὶ οὓς ἐκάλεσεν,[c] τούτους καὶ
ἐδικαίωσεν·[d] οὓς δὲ ἐδικαίωσεν,[e] τούτους καὶ ἐδόξασεν.[f] 31 Τί οὖν ἐροῦμεν[a]
πρὸς ταῦτα; εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν, τίς καθ’ ἡμῶν; 32 ὅς γε[a] τοῦ ἰδίου υἱοῦ οὐκ
ἐφείσατο,[b] ἀλλὰ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν[c] αὐτόν, πῶς οὐχὶ καὶ σὺν
αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;[d] 33 τίς ἐγκαλέσει[a] κατὰ ἐκλεκτῶν[b] θεοῦ; θεὸς
ὁ δικαιῶν·[c] 34 τίς ὁ ⸀κατακρινῶν;[a] ⸀Χριστὸς ὁ ἀποθανών,[b] μᾶλλον ⸀δὲ
⸀ἐγερθείς,[c] ὅς ⸀καί ἐστιν[d] ἐν δεξιᾷ τοῦ θεοῦ, ὃς καὶ ἐντυγχάνει[e] ὑπὲρ ἡμῶν·
35 τίς ἡμᾶς χωρίσει[a] ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία[b] ἢ
διωγμὸς[c] ἢ λιμὸς[d] ἢ γυμνότης[e] ἢ κίνδυνος[f] ἢ μάχαιρα;[g] 36 καθὼς γέγραπται[a]
ὅτι Ἕνεκεν[b] σοῦ θανατούμεθα[c] ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν[d] ὡς πρόβατα
σφαγῆς.[e] 37 ἀλλ’ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν[a] διὰ τοῦ ἀγαπήσαντος[b] ἡμᾶς.
38 πέπεισμαι[a] γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε
⸉ἐνεστῶτα[b] οὔτε μέλλοντα[c] οὔτε δυνάμεις⸊ 39 οὔτε ὕψωμα[a] οὔτε βάθος[b] οὔτε
τις κτίσις[c] ἑτέρα δυνήσεται[d] ἡμᾶς χωρίσαι[e] ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν
Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

---

e VNPA
f NAMS πρωτότοκος *firstborn*
30 a V3SAAI προορίζω *to predestine*
b V3SAAI
c V3SAAI
d V3SAAI
e V3SAAI
f V3SAAI
31 a V1PFAI
32 a γέ *indeed*
b V3SAMI φείδομαι *to spare*
c V3SAAI
d V3SFMI χαρίζομαι *to give grace*
33 a V3SFAI ἐγκαλέω *to bring charges*
b NGMP ἐκλεκτός *elect*
c VPPANMS
34 a VPPANMS κατακρίνω *to condemn*
b VPAANMS
c VPAPNMS
d V3SPAI
e V3SPAI ἐντυγχάνω *to intercede*
35 a V3SFAI χωρίζω *to divide*
b NNFS στενοχωρία *distress*
c NNMS διωγμός *persecution*
d NNMS λιμός *hunger*
e NNFS γυμνότης *nakedness*
f NNMS κίνδυνος *danger*
g NNFS μάχαιρα *sword*
36 a V3SRPI
b ἕνεκεν *for*
c V1PPPI θανατόω *to put to death*
d V1PAPI
e NGFS σφαγή *slaughter*
37 a V1PPAI ὑπερνικάω *to thoroughly conquer*
b VPAAGMS
38 a V1SRPI
b VPRANNP ἐνίστημι *to be present*
c VPPANNP
39 a NNNS ὕψωμα *height*
b NNNS βάθος *depth*
c NNFS κτίσις *creation*
d V3SFMI
e VNAA χωρίζω *to divide*

**Chapter 9**

**9** Ἀλήθειαν λέγω[a] ἐν Χριστῷ, οὐ ψεύδομαι,[b] συμμαρτυρούσης[c] μοι τῆς
συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ, 2 ὅτι λύπη[a] μοί ἐστιν[b] μεγάλη καὶ
ἀδιάλειπτος[c] ὀδύνη[d] τῇ καρδίᾳ μου· 3 ηὐχόμην[a] γὰρ ⸂ἀνάθεμα[b] εἶναι[c] αὐτὸς
ἐγὼ⸃ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν[d] μου κατὰ
σάρκα, 4 οἵτινές εἰσιν[a] Ἰσραηλῖται,[b] ὧν ἡ υἱοθεσία[c] καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι
καὶ ἡ νομοθεσία[d] καὶ ἡ λατρεία[e] καὶ αἱ ἐπαγγελίαι, 5 ὧν οἱ πατέρες, καὶ ἐξ ὧν
ὁ χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν[a] ἐπὶ πάντων, θεὸς εὐλογητὸς[b] εἰς τοὺς αἰῶνας·
ἀμήν. 6 Οὐχ οἷον[a] δὲ ὅτι ἐκπέπτωκεν[b] ὁ λόγος τοῦ θεοῦ. οὐ γὰρ πάντες οἱ ἐξ
Ἰσραήλ, οὗτοι Ἰσραήλ· 7 οὐδ’ ὅτι εἰσὶν[a] σπέρμα Ἀβραάμ, πάντες τέκνα, ἀλλ’·
